Chapter 1

# 2 John

In these next three chapters, you will meet very little that you do not already know, assuming you have finished Basics of Biblical Greek in good fashion. The purpose of these chapters is to let you sit back, relax a little, and enjoy seeing how much you have learned. We will start meeting new material in chapter 4.

In the vocabulary section I have listed words that occur less than 10 times. Use the dictionary in the back of *BBG* to find those that occur 10 through 49 times. You should know all the rest.

## Vocabulary

| | |
|---|---|
| κυρία, ἡ | *lady* (2) |
| μέλας, μέλαινα, μέλαν | *black* (6). The form μέλαν can mean *ink.* |
| χάρτης, ου, ὁ | *paper* (1) |

## Salutation

**1:1** Ο πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ
ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες[1] τὴν
ἀλήθειαν, **1:2** διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν καὶ μεθ᾽ ἡμῶν ἔσται εἰς
τὸν αἰῶνα.[2] **1:3** ἔσται μεθ᾽ ἡμῶν χάρις ἔλεος εἰρήνη παρὰ θεοῦ πατρὸς καὶ
παρὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

1 Hint: I see an οτ and what appears to be an augment, but is it?

2 εἰς τὸν αἰῶνα is a normal Greek idiom meaning “forever.”

**Truth and Love**

**1:4** Ἐχάρην[1] λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός. **1:5** καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν καινὴν γράφων σοι ἀλλὰ ἣν εἴχομεν[2] ἀπ᾽ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. **1:6** καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ· αὕτη ἡ ἐντολή ἐστιν, καθὼς ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε.

**1:7** Ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. **1:8** βλέπετε[3] ἑαυτούς, ἵνα μὴ ἀπολέσητε[4] ἃ εἰργασάμεθα ἀλλὰ μισθὸν πλήρη ἀπολάβητε.

**1:9** Πᾶς ὁ προάγων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. **1:10** εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς

[1] Hint: Look carefully at the stem vowel and the eta. Ok, this is pretty hard. Another hint: the final eta is a tense formative and one of the stem vowels has dropped out.

[2] Hint: this is a difficult augment. You would normally expect ἤχομεν.

[3] Hint: this is not an indicative.

[4] Hint: This is a compound verb whose tense stems are difficult to identify. Think of verbal roots.

οἰκίαν καὶ χαίρειν αὐτῷ μὴ λέγετε· **1:11** ὁ λέγων γὰρ αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

**Final Greetings**

**1:12** Πολλὰ ἔχων ὑμῖν γράφειν οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος, ἀλλὰ ἐλπίζω γενέσθαι πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα[1] λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν πεπληρωμένη ᾖ.[2]

**1:13** Ἀσπάζεταί σε[3] τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς.

. . . . .

Congratulations! You now have read an *entire* book

of the Greek New Testament!

---

[1] Is this the "holy kiss" of 1 Cor 16:20?
[2] Hint: You normally see these last two words in reverse order.
[3] Why is this in the case it is?